# ΕΠΙΤΟΜΗ

## ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ

ΕΚΤΕΘΕΙΣΑ

ΠΑΡΑ ΤΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΤΩΝ ΕΠΙΣΤΗΜΩΝ

## ΣΕΡΓΙΟΥ ΜΑΚΡΑΙΟΥ

ΕΝ ΤΡΙΣΙ ΒΙΒΛΙΟΙΣ

*Ἤδη πρῶτον τύποις ἐκδοθεῖσα*

Φιλοτίμῳ δαπάνῃ τῶν εὐγενῶν καὶ φιλομούσων Εὐπατριδῶν Ἰωαννιτῶν Κυρίου ΑΝΑΣΤΑΣΙΟΥ, καὶ Κυρίου ΓΕΩΡΓΙΟΥ ΧΑΤΖΗ ΚΩΝΣΤΑ Ὁμοψύχων Αὐταδέλφων.



ΕΝ ΒΕΝΕΤΙΑ.

ΠΑΡΑ ΝΙΚΟΛΑΩ ΓΛΥΚΕΙ ΤΩ ΕΞ ΙΩΑΝΝΙΝΩΝ.

1816.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΗ ΕΥΓΕΝΕΣΤΑΤῌ ΔΥΑΔΙ

## ΤΩΝ ΕΥΠΑΤΡΙΔΩΝ

Εὐσεβεστάτων φιλογενῶν καὶ φιλομούσων, καὶ θερμῶν ζηλωτῶν τῆς προγονικῆς ἡμῖν Ἑλλαδικῆς εὐμουσίας,

## ΟΜΟΨΥΧΩΝ ΑΔΕΛΦΩΝ

ΚΥΡΙῼ ΑΝΑΣΤΑΣΙῼ, ΚΑΙ ΚΥΡΙῼ ΓΕΩΡΓΙῼ ΧΑΤΖΗ ΚΩΝΣΤΑ

## ΧΑΙΡΕΙΝ.

Ὑμῖν προσφωνῶ, καὶ ἀνατίθημι τὸ μικρὸν ἐμὸν τουτὶ ἔργον, ὦ φιλόμουσοι, καὶ εὐκλεέστατοι Αὐτάδελφοι· οἶδα γὰρ τὴν εἰς τὰ καλὰ φιλάγαθον ὑμῶν γνώμην, καὶ τὴν πρὸς τὰ κοινῇ συμφέροντα σπουδὴν, καὶ συνδρομὴν εἰς τὴν ἀπαιτουμένην τοῦ Γένους εὐμάθειαν· ἔγνων τὸν ἔνθεον ζῆλον, ὃν ἔχετε ὑπὲρ τῶν καλῶν, καὶ ὀρθῶν Δογμάτων, ὡς τέκνα ἀμώμητα τῆς ὀρθοδόξου Πίστεως, ἐκ προγόνων ἐντεθραμμένοι εἰς τὴν ὀρθοδοξίαν, καὶ εὐσέβειαν. Δέξασθε οὖν καὶ τόδε δι᾽ ἐμὲ μεθ᾽ μικρὸν

πό-

πόνημα, μέγα δὲ διὰ τὸν ἐν αὐτῷ ὀρθὸν λόγον, καὶ τὴν ἀνακάθαρσιν τοῦ πολυκλείτου ὀνόματος τῆς Φιλοσοφίας. εἰ γὰρ καὶ μὴ πάντῃ τὸν ἀγῶνα περὶ αὐτῆς ἑαυτῷ προεστήσατο, τὸ μέρος γοῦν διακαθᾶραι τῶν ἐκ προλήψεως, καὶ οἰήσεως εἴτε παλαιᾶς, εἴτε νεωτέρας φρενὸς ἀτόπων δογμάτων σπουδάζει, Ἐπιτομὴ Φυσικῆς Ἀκροάσεως ἐπιγραφόμενον. τίς γὰρ οἷός τ᾽ ἂν γένοιτο πάσας ὁμοῦ ἐκπεριελθεῖν, τῶν τε πάλαι, καὶ τῶν ὕστερον γνώμας, καὶ εἰς μίαν βάσανον, τὸν ὀρθὸν λόγον ἀγαγεῖν, καὶ δοκιμάσαι, καὶ διελέγξαι ἅπαν τὸ ψεῦδος, καὶ τῆς ἀπάτης ἀπαγαγεῖν τοὺς παραλογιζομένους; Ἀρκεῖ οὖν τῶν ἐπισημοτέρων Φιλοσόφων, ἀφ᾽ ὧν καταρρεῖ καὶ τοῖς ἄλλοις ἡ ὁμίχλη τῶν ἀλόγων προλήψεων, τὴν ἀπάτην ἐν μέρει διελέγξαι. οὐ γὰρ ξένον, οὐδ᾽ ἀήθες καὶ τοὺς πάνυ περικλεῶς καὶ περιδόξως φιλοσοφήσαντας ἔν τισι διαμαρτεῖν, παρεκτραπέντας τοῦ ἀληθοῦς· ὥστε καὶ εἰς βάσανον ἄγειν, καὶ ἀνακρίνειν τὰ δοκοῦντα αὐτοῖς ὀφείλομεν, ὑφορώμενοι ἐν τοῖς δόγμασιν αὐτῶν τὴν ἀπάτην, καὶ μηδὲν ἀκρίτως παραδεχόμενοι. „μόνα γὰρ τὰ λόγια Κυ-
„ρίου, λόγια ἁγνά, ἀργύριον ἑπταπλασίως πε-
„πυρωμένον". Τοῦτον γοῦν τὸν τύπον παραλαβὼν καὶ τηρήσας κἀγὼ ἐν τῇ διδασκαλίᾳ, κατ᾽ αὐτὸν καὶ τὴν ἐκτεθεῖσαν Ἐπιτομὴν συνέγραψα, ἣν ὑ-

πά-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάγω τῇ ὑμετέρᾳ κηδεμονίᾳ, ϗ ἐπιμελείᾳ ἐν βα-
θεῖ γήρει ὤν, φροντίσας μήτι ἐξίτηλος γένηται,
ἀντιγραφῆς μὴ τυχοῦσα, ϗ τῆς ἐκ τοῦ τύπου καλ-
λιγραφίας ϗ ἐκδόσεως, εὔελπις ὢν ὅτι ϗ ταύτης
τῆς μικρᾶς ἐκδόσεως πρόνοιαν ποιήσετε, προνοού-
μενοι ϗ ἐμοῦ αὐτοῦ, ὅτι ὁμόπατρις· ὅμοροι γὰρ Ἀ-
γραιοὶ Ἠπειρώταις μᾶλλον, ἢ Θετταλοῖς· ὅτι τε
τὸν αὐτὸν, ὃν ἔχετε ζῆλον ὑπὲρ εὐμαθείας τῶν ὁ-
μογενῶν νῦν Ἑλλήνων, εὕροιτε αὖ ϗ ἐν ἐμοὶ πα-
ρεμφερῆ· ὅτι τε καὶ γνώμην εὐγνώμονα ϗ ἐφύλα-
ξα, ϗ διατηρήσω, οἷς εὐεργετήθην· ἀεὶ γὰρ ἐγὼ
δι᾽ εὐφήμου γλώττης φέρω τὴν Μητρόπολιν τὰ
Ἰωάννινα. διότι προκύψας εἰς φῶς, Ἀθήνας καὶ
ἑστίαν λόγων αὐτὴν ἐπέγνων. ἐξ αὐτῆς γὰρ (ὡς
ἀπὸ καλλιῤῥόου πηγῆς) ἀρυσάμενος δαψιλῆ χεύ-
ματα διὰ Μεθοδίου, Στίγνιως Τρύφωνος Μπαλά-
νου, τῶν ἀοιδίμων Διδασκάλων, ὁ ἐν ὁσιότητι
μέγας, ϗ πολὺς ἐν σοφίᾳ Θεοφάνης, ὁ ἐμὸς πρῶ-
τος Καθηγητὴς ἀνήγαγεν εἰς Ἄγραφα, ϗ διψῶ-
σι μετέδωκεν, ἐπ᾽ αὐτὴν τὰ πρῶτα προσκληθεὶς
ἐπέλαμψεν ϗ ὁ σοφώτατος Διδάσκαλός μου Εὐ-
γένιος· ὥστε οὐδέ ποτε ἐπαυσάμην οὐ μόνον τὴν εὐ-
γνωμοσύνην τοῖς Διδασκάλοις, ἀλλὰ ϗ τὰ εὔφη-
μα τῇ ὑμετέρᾳ Πατρίδι ὡς χορηγῷ τῆς ἐμῆς ὠ-
φελείας ἀποδιδοὺς, ἐπαινῶν ἐνδελεχῶς τὸν ἀδιά-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΙΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λειπτον καὶ κατὰ διαδοχὴν ἐκ Προγόνων θεάρεστον ζῆλον περὶ συστάσεως τῶν Σχολείων καὶ ὠφελείας τῶν λόγων τῶν εὐγενῶν Ἰωαννιτῶν, ἐν οἷς διαλάμπει καὶ νῦν, καὶ παρὰ πάντων ἐπαινεῖται κηρυττόμενος καὶ εὐφημούμενος διαπρυσίως διάπυρος ὤν, ὑπὲρ τῆς ὠφελείας παντὸς τοῦ Γένους, καὶ τῆς ἀξιολόγου συνδρομῆς καὶ βοηθείας τῶν ἐν ἡμῖν λογίων Ἀνδρῶν ἐν οἷς διατελῶ.

Τῆς ὑμετέρας Εὐγενείας

Δοῦλος καὶ πρὸς Θεὸν εὐχέτης
ΣΕΡΓΙΟΣ ΜΑΚΡΑΙΟΣ ΔΙΔΑΣΚΑΛΟΣ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΟΙΣ ΕΜΟΙΣ ΑΓΑΠΗΤΟΙΣ ΑΚΡΟΑΤΑΙΣ
# Ο ΕΥΤΕΛΗΣ ΕΝ ΔΙΔΑΣΚΑΛΟΙΣ ΣΕΡΓΙΟΣ
# ΧΑΙΡΕΙΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τῆς προτέρας ἐκείνης ἀγάπης καὶ σπουδῆς καὶ ἐπιμελείας βουλόμενος ὑμῖν ὑπόμνημα ἀπολιπεῖν, ἐν γήρει καὶ ἀσθενείᾳ πολλῇ συνέγραψα τὴν Ἐπιτομὴν τῆς Φυσικῆς Ἀκροάσεως, ἵν᾽ ἔχοντες ἔναυλον, κἀμοῦ διηνεκῶς μέμνησθε. Δέξασθε οὖν εὐγνωμόνως καὶ τὸ παρὸν ὑπόμνημα, εὐσταθῶς φιλοσοφοῦντες, ἡγεμόνα ἀεὶ τὸν ὀρθὸν λόγον ἐν τῇ φυσικῇ θεωρίᾳ ποιούμενοι. οὕτω γὰρ ἂν εἴη ἐλευθέρως φιλοσοφεῖν, καὶ μὴ τυφλῷ ποδὶ, ὃ λέγεται, πρὸς δόξαν παρομαρτεῖν, μόνα τὰ ὑπὸ Ἀριστοτέλους ἢ Πλάτωνος εἰρημένα πρεσβεύοντας, καὶ πάντα καλῶς εἰρῆσθαι ὑπὸ τούτου ἢ ἐκείνου δοκοῦντας. εἰσὶ γὰρ οἳ καὶ νῦν ἤδη καὶ πρότερον, ἄνδρας τοὺς ἐν Φιλοσοφίᾳ περικλεῶν ἡγεμόνας σφίσιν αὐτοῖς προσιστάμενοι, τοῦ ὀρθοῦ λόγου ἠμέλησαν, καὶ περὶ πλεῖστα τῆς ἀληθείας ἐξέπεσον, καὶ τὸ χεῖρον μηδ᾽ αὐτὰ ὡς λέγεται ὑπ᾽ ἐκείνων, τὰ πολλὰ συνιέντες, ἀναπείθειν τοὺς ἄλλους ἐπιχειροῦσι, καὶ περὶ τὰ προ-



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

προδηλότατα προσπταίοντες. Ἡμεῖς δὲ καὶ τῶν πάλαι καὶ τῶν ὕστερον καὶ τῶν νῦν περικλεῶν Φιλοσόφων τὰς δόξας ἀναδιφῶντες καὶ ἀπροσπαθῶς ἀνακρίνοντες ἐπὶ τὸν ὀρθὸν λόγον, τὴν ἀλήθειαν πρὸ παντὸς προτιμῶμεν, καὶ ταύτην ἀποδεχόμενοι, ἐν τῷ ὀρθῷ λόγῳ συμαινοῦμεν τὰς γνώμας, καὶ τοὺς μὲν εὐτυχήσαντας αὐτῆς ἐν ταῖς σφῶν θεωρίαις μακαρίζομεν, τοὺς δὲ ἔντισι ἀτυχήσαντας οὐδόλως κατηγοροῦμεν. τί γὰρ ξένον, εἰ διήμαρτον κἀκεῖνοι ἐν ἐνίοις, περὶ πολλῶν διαλεγόμενοι; ἄνθρωποι γάρ. τοῦτο δὲ ἄνθρωπος, μέγα καὶ μικρὸν, δυνατὸς καὶ ἀσθενὴς, πλούσιος καὶ πένης, εὐτυχὴς καὶ ἀτυχής. ἀνθρώπινον ἄρα κἀκεῖνοι ἔπαθον, εἰ ἐν ταῖς μελέταις καὶ ἐν συζητήσεσι, περί τινων ἠτύχησαν ἀτόπους δόξας περί τε τῶν νοητῶν καὶ φαινομένων ὑπολαβόντες· τὰς δὲ περὶ τὰ πρῶτα καὶ κράτιστα πταίσαντας ἀποποιούμεθα. Ἀποποιούμεθα οὖν ὅλως τὴν Ἐπικούρου κενολογίαν, καὶ Ἀριστίππου μοχθηρίαν, καὶ τὴν σοφιστείαν ἢ ἀλογίαν τῶν Πυῤῥωνίων, καὶ τῶν ὁμοίων ἄλλων δοκησισόφων τὴν ἀπάτην· καὶ μάλιστα ἀποπτύομεν τοὺς ἐκ ῥαδιουργίας πρὸς ἀπάτην τῶν ἄλλων τὸ ψεῦδος συσκευάζοντας καὶ συνιστῶντας, οἷος ὁ κατάπτυστος ἔναγχος φανεὶς ἄστατος Βολτέριος, καὶ ὁ τούτῳ συνέριθος Ῥουσὼν, οἱ δὴ ἀσχημόνως τὸ τοῦ Φιλοσόφου ὄνομα ἀναλαβόντες κατεψεύσαντο, πάντα συγκυκῶντες, πάντα συμφύροντες, πάντα συγχέοντες, καὶ μετακινεῖν καὶ διαταράττειν πειρώμενοι, τῶν ἑδραίως καλῶς ἐχόντων κατεπιχειροῦντες οἱ ἄφρονες, μεταπηδῶντες καὶ ἐφαλλόμενοι ἀσέ-

μνως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μνως ϗ παραλόγως ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ μεταφυσικὰ, μήτε φύσιν, μήτε νοῦν εἰδότες, κατὰ φύσιν λέγειν, ϗ κατὰ νοῦν φιλοσοφεῖν κομπάζοντες, ἵν᾽ ἐξιστῶσι τοῦ νοῦ, ϗ τῆς ἀληθείας τοὺς ἀφελεῖς, ϗ διαπαράττωσι ϗ θολῶσι τὰς φρένας τῶν πολλῶν, κροτοῦντες τῷ σχήματι τῆς Φιλοσοφίας, καταμιαίναντες τῇ κακοηθείᾳ τὸ σεμνόν πού τι ὄνομα, καὶ ἁπάσης ἀρετῆς τοὺς κατ᾽ αὐτοὺς ἀπογυμνώσαντες. τί γὰρ οὐκ ἐμίαναν τῶν καλῶν οἱ μιαροί; πᾶν δόγμα, πᾶν ἔθος καλὸν, πάντα νόμον ϗ τάξιν εὐπρεπείας ϗ κοσμιότητος διέβαλον ἐμπαίζοντες ϗ φλυαροῦντες, ϗ τὰ οἰκεῖα ἄσεμνα ϗ ἀκόλαστα, φαῦλα τε ϗ παράλογα ἐξαίροντες, ὑπερερεθίζοντες ἐμπαθῶς καὶ δολίως τὰς τῶν ἄλλων ὀρέξεις εἰς τὰ αὐτοῖς φαῦλ᾽ ἐπιφαύλως σπουδαζόμενα. ϗ τὸ χείριστον πάντων κατεπιχειροῦσι, τοῦ Δημιουργοῦ τὸ ποίημα, τοῦ Θεοῦ τὸν ἄνθρωπον ἀποστῆσαι σπουδάζοντες, περιελόμενοι πᾶν σέβας θεῖον, τῆς ἀσεβείας κατορχούμενοι. Τούτους γοῦν καὶ τοὺς τοιούτους στυγητέον, καὶ λοιδορητέον λοιμοὺς ὄντας, ἐκ τύφου καὶ ἀλαζονείας, ϗ τῆς παμφόρου πονηρίας τῶν κακῶν, ϗ κακοσυνεχοῦς μοχθηρίας καταψευδομένους. τοὺς δ᾽ ἄλλως ἀτυχήσαντας ἐν μέρει τῆς ἀληθείας, ἥκιστα ὀλιγωρητέον, ἀποδεχομένους καὶ τιμῶντας ἐν οἷς ὀρθῶς ἐφιλοσόφησαν.

Τοῦτον τοίνυν τὸν κανόνα παραλαβόντες καὶ ἡμεῖς, καὶ φυλάττοντες, εἰ μὴ πάντα κατ᾽ Ἀριστοτέλην, ἢ Πλάτωνα ἤ τινα ἕτερον τῶν πάλαι, εἰ καὶ μὴ κατὰ Βόλφιον, ἢ Νέφθωνα, ἢ Καρτέσιον, ἤ τινα ἄλλον τῶν

νεω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νεωτέρων, ἀλλὰ κατὰ τὸν ὀρθὸν λόγον, φυσιολογοῦμεν ἐν τῷδε τῷ ὑπομνήματι, ἥκιστα μεμπτέοι. μάλιστα δὲ ἀποδεκτέοι μαστεύοντες, καὶ ἐκλέγοντες ἐκ τῶν πολλῶν τ᾽ ἀληθῆ. οὐ γὰρ ἐκ τύφου καὶ ματαίας οἰήσεως, καὶ αὐταρεσκείας καινοτομοῦμεν, ἀλλ᾽ ἔρωτι ἀληθείας ἀγόμενοι, πρὸ πάντων ἡγεμόνα τὸν ὀρθὸν λόγον ποιούμεθα. φίλος γὰρ Πλάτων, φίλος Ἀριστοτέλης, φιλτάτη δ᾽ ἀλήθεια.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ



Ε. Υφαντής Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΑΝΤΙΡΡΗΣΕΙΣ ΚΑΙ ΕΛΕΓΧΟΣ ΤΟΙΣ ΠΕΡΙΠΑΤΗΤΙΚΟΙΣ ΟΤΙ ΣΥΓΚΕΧΥΜΕΝΩΣ ΠΕΡΙ ΦΥΣΙΚΩΝ ΑΡΧΩΝ ΦΙΛΟΣΟΦΟΥΣΙ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ἔκπαλαι οἱ περὶ ἀρχῶν τῶν ὄντων ἐπιζητήσαντες, διαφόρως διηνέχθησαν. οἱ μὲν γὰρ μίαν ἀρχὴν ὑπέθεντο, ὡς Παρμενίδης καὶ Μέλισσος· οἱ δὲ πολλὰς, καὶ ταύτας ἤτοι πεπερασμένας, ἢ ἀπείρους. καὶ ἀπείρους μὲν ὡς Λεύκιππος, καὶ Ἀναξαγόρας, καὶ Δημόκριτος· πεπερασμένας δὲ ὡς οἱ Πυθαγόρειοι, καὶ Στωϊκοὶ, Πλάτων, καὶ αὐτὸς ὁ Ἀριστοτέλης. ἀλλὰ τὰς μὲν τῶν ἄλλων δόξας παρέντες νῦν, τὰς ἀρχὰς τῶν Περιπατητικῶν ἐπισκεψώμεθα. Τιθέασιν οὖν οὗτοι τῶν φύσει ὄντων καὶ γιγνομένων ἀρχὰς τέτταρας, καὶ ταύτας ἐνθεωρεῖσθαι φασὶν ἐν συνθέσει καὶ γενέσει τῶν φύσει ὄντων, ὕλην, εἶδος, ποιητικὸν καὶ τελικὸν αἴτιον. ἀλλὰ περὶ μὲν ἀριθμοῦ ἴσως οὐκ ἔλαθον, καὶ τὴν σύνθεσιν εἶδον, καὶ τὴν γένεσιν ἐν τοῖς καθ' ἕκαστα κατέλαβον· τὸ δὲ νόθῳ ὥς φασι λογισμῷ διαιρεῖν τὰ φύσει ἡνωμένα, καὶ ἑκάτερον ἀρχὴν οὐ πράγματι ἀλλὰ ψιλῷ λογισμῷ τῶν φύσει ὄντων προϋποτιθέναι, κομιδῇ ἄτοπον. καὶ θαυμάσειε δ' ἄν τις εἰκότως, πῶς Ἀριστοτέλης τῇ τοῦ Πλάτωνος δόξῃ ἀπαρεσκόμενος, καὶ ταύτῃ μαχόμενος, λεληθότως ἐπ' αὐτὴν



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὴν περιπέπτωκεν. εἰ γὰρ ἀρχὴν τῶν φυσικῶν σωμάτων ὑπέθετο, καὶ προτέραν τῶν εἰδῶν ᾤετο. ἀλλ' ἐν τοῖς εἴδεσι θεωρεῖ καὶ νόθῳ λογισμῷ ἐξ αὐτῶν αἰμᾶται γυμνὴν καὶ ἀνείδεον, καὶ οὕτω ἀρχὴν τῶν σωμάτων τίθησιν, οὐχ ὡς ὁ Πλάτων προϋπάρχειν τῶν εἰδῶν εἰσηγούμενος. ἀλλὰ καὶ οὕτως ἀπογυμνώσας καὶ κατασκελετεύσας, ἤτοι κατὰ Πλάτωνα προτέραν ἡγεῖται καὶ ἀρχὴν τίθησιν, ἢ τῆς ἀρχῆς τῶν φυσικῶν τὸ πρότερον ἀφαιρεῖ. εἰ γὰρ ἀρχὴ ἡ ὕλη τῶν φυσικῶν σωμάτων πράγματι προτέρα τῶν εἰδῶν, ἔσται ἀρχή, ὡς ᾤετο Πλάτων, καὶ Ἀριστοτέλης ὑποβάλλει. εἰ δὲ ἀεὶ μετὰ τῶν εἰδῶν ἡ ὕλη, ἀΐδια δὲ τὰ εἴδη ὡς δοξάζει Ἀριστοτέλης, ἐπὶ δὲ τῶν ἀϊδίων ἐν συνθέσει τὸ πρότερον οὐκ ἔχει χώραν, οὐδὲ λογισμῷ ἀρχὴ τῶν φύσει ὄντων ἡ ὕλη ἔσται.

Ἐπιστητέον ἀλλ' οὖν καὶ διακριτέον ἐν τόποις ὡς οὔτε ἡ ἀρχὴ οὔτε τὸ πρότερον ἐπ' αὐτῆς συνωνύμως λέγεται. ἄλλως γὰρ ἡ ὕλη καὶ τὸ εἶδος εἰσὶν ἀρχαί, λογικαὶ δηλονότι καὶ ἐπινοίᾳ διαιρεταὶ καὶ θεωρηταί, ἐν συνθέσει οὖσαι, καὶ ἄλλαι εἰσὶν αἱ φυσικαὶ ἐν γενέσει πράγματι πρότεραι τῶν γιγνομένων οὖσαι. καὶ αἱ μὲν θεωροῦνται λογικῶς ἤτοι τῇ διανοίᾳ ἐν τοῖς πρώτοις φυσικοῖς σώμασιν εἴτουν στοιχείοις. αἱ δὲ καὶ ἐν τοῖς ἐξ αὐτῶν συνθέτοις καὶ μικτοῖς. τῶν γὰρ φυσικῶν σωμάτων τῶν μὲν πρώτων ἡ σύστασις ἐκ πρωτογόνου γενέσεως οὖσα μόνῳ λόγῳ θεωρητή ἐστι. τῶν δὲ ἐξ αὐτῶν ἡ γένεσις ὡς ἐξ ἀρχῶν τῶν πρώτων κατὰ φύσιν ἐστίν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ ΘΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀριστοτέλης γοῦν ἐκ τοῦ Πλάτωνος τὴν ὕλην ἀνείδεον ἀποδρεψάμενος, ϗ συνεῖναι τοῖς εἴδεσιν ἀϊδίως ὑποθεὶς, ἀπέωσε μὲν τὸ προϋπάρχειν τῶν εἰδῶν, ὃ ἐφρόνει ὁ Πλάτων, εἰσήνεγκε δὲ τὸ ἀεὶ συνυπάρχειν τοῖς εἴδεσι, πάντα ἀΐδια ϗ ὕλην ϗ εἶδος ϗ κόσμον ὅλον ὑποτοπάσας. εἶτα δ᾽ ἀρχὴν συνθέσεως εἰσηγούμενος, ἣ κατὰ Πλάτωνα προτέραν τῶν εἰδῶν ὑπέλαβε τὴν ὕλην νόθῳ λογισμῷ κατασκελετεύσας ἐκ τῶν ὄντων καὶ φαινομένων, ὥστε ἀρχὴν εἶναι, προΰπαρξιν αὐτῇ δοὺς, ἢ ϗ ἐν χρόνῳ, ϗ ἀΐδια τὰ γινόμενα καὶ ὄντα ἐν τῷ κόσμῳ δοξάζει, ϗ ἑαυτῷ ἀντιπίπτει. ἐπὶ γὰρ τῶν ἀϊδίων ἀρχὴ συνθέτως οὐκ ἂν ὀρθῶς ῥηθείη. προτέρα γὰρ ἡ ἀρχὴ, τοῦ οὗ ἐστὶν ἀρχή. ὁ δὲ ἐκ τῶν φαινομένων περιδραξάμενος τὴν κύκλῳ κίνησιν, ϗ ἐκ ταύτης ἐπειγόμενος συστῆσαι τοῦ κόσμου τὴν ἀϊδιότητα, καὶ δοκῶν τι εὑρεῖν, εἶτα εἰσάγων ἐν τῇ φύσει γένεσιν ϗ φθορὰν, ϗ κίνησιν καὶ ἠρεμίαν, ϗ ὅλως ἀλλοίωσιν, ϗ ἀρχὰς τῶν ἀϊδίων συνθέσεως ὑποθεὶς, περιεῖλε τοῦ κόσμου τὴν ἀϊδιότητα, οὐδὲν ὑγιὲς περὶ συστάσεως καὶ ἀϊδιότητος τοῦ αἰσθητοῦ τοῦδε κόσμου ὑπολαβὼν, ὡς ϗ ἄλλοι μὲν ἐξήλεγξαν, πάντων δὲ μάλιστα ὁ Θεῖος Ἰουστῖνος ὁ Μάρτυς καὶ Φιλόσοφος. (α)

ΠΡΟ-

(α) Ὅρα τὰ σωζόμενα τῶν Συγγραμμάτων αὐτοῦ, Αὐγουσταίᾳ Ἐκδόσει. ϗ Βιβλιοθήκην τοῦ Ἱεροφάντου Φωτίου, σελίδι 162.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΠΡΟΔΙΑΙΤΗΣΙΣ ΚΑΙ ΠΡΟΘΕΩΡΙΑ ΤΩΝ ΕΝ ΓΕΝΕΣΕΙ ΦΥΣΙΚΩΝ ΑΡΧΩΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τιθέμεθα ἀρχὰς τῶν φυσικῶς γιγνομένων πρώτας, τὰ πρῶτα σώματα, ἅπερ καὶ ἁπλᾶ κοινότερον καλοῦμεν, καὶ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, αἰθέρα· καὶ ταῦτα ἀπ' ἀρχῆς ὑπὸ τοῦ Δημιουργοῦ, ὃς ἐποίησε τὰ πάντα, εἰδοπεποιημένα, συντετμημένα, καὶ ἀπ' ἀλλήλων ποιότησι καὶ δυνάμεσι διαφέροντα, συνθέοντα καὶ τρεπόμενα καὶ ἀλλοιούμενα εἰς παντοίαν μορφὴν καὶ γένεσιν τοῦ περικαλλοῦς καὶ ὡραιοτάτου τοῦδε συντάγματος τοῦ θαυμαστοῦ κόσμου. Πεπερασμένον ἄρα τὸν κόσμον, αἰσθήσει καὶ λόγῳ πειθόμενοι, ἡγούμεθα.

ΕΠΙ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΕΠΙΤΟΜΗ
# ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΒΙΒΛΙΟΝ Α΄.

### ΚΕΦΑΛΑΙΟΝ Α΄.

*Περὶ ὕλης καὶ εἴδους τῶν φυσικῶν πρώτων σωμάτων, ὅτι ἐν αὐτοῖς λογικῶς θεωρεῖται ἑκάτερον, καὶ ὅπως νοεῖται, καὶ ἀπ' ἀλλήλων διακέκριται.*

Τὸ δυνατὸν ἐν ὑπάρξει, ἤτοι καθ' ἓν ὑπάρχον καὶ καθ' ἓν συνιὸν, ἀριθμῷ πληθύνεται, ἢ τῷ συνεχὲς εἶναι ἑνοῦται, καὶ διαιρέσει πληθύνεται. τῶν ἄρα ἐνδεχομένων ἐχόντων τὴν ὕπαρξιν, τὰ μὲν καθ' ἓν ὑπάρχοντα, τοῦ δυνατοῦ ὑπερφυσικῶς οὐσιωθέντος, καὶ καθ' ἓν ἁπλῶς τῇ ὑπάρξει μόνῃ χαρακτηριζομένου, ἁπλούστατα εἰσί. τὰ δὲ τῆς ἑνοειδοῦς ταύτης ἁπλότητος ἀμοιρήσαντα, τῷ συνεχῶς εἶναι ἐν ὑπάρξει οὐσιωθέντος τοῦ δυνατοῦ, οὐκ εἰσὶ κυρίως ἁπλᾶ. ἡ γὰρ συνέχεια τὸ πολλαπλοῦν ἐν ἑνότητι ὑποβάλλει, καὶ ἀριθμὸν, καὶ τομὴν, καὶ διαίρεσιν δυνάμει συνεισάγει. κατὰ μὲν οὖν τὸ πρῶτον τὰ νοητὰ, ἤγουν Ἄγγελοι καὶ ἁπλῶς ἄϋλα πνεύματα ὑφεστήκασιν. (οἱ γὰρ ἐπουράνιοι νόες ὑποστατικῶς ἀπ' ἀλλήλων διακέκρινται. καὶ δυνάμεις μὲν αὐτῶν καὶ ἕξεις καὶ ἐνεργείας ἐκ τοῦ ἐν



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἡμῖν νοὸς παρεικάζομεν, τὴν ἐσίαν ἔμπης ἑκάστου περινοῆσαι ἐ δυνάμεθα. ἁπλυςάτη γάρ ἐςι, καὶ ἔτε γένη οὔτε εἴδη ἐν αὐτοῖς ἐπινοοῦμεν. ὁμοφυεῖς εἰσὶ γὰρ οἱ πάντες, τάξει καὶ ἕξει ἀπ' ἀλλήλων διαφέροντες, καὶ δι' ἀλλήλων τὰς ἐλλάμψεις διοχετεύοντες, καὶ μέχρις ἡμῶν προχέοντες). κατὰ δὲ τὸ δεύτερον, τὰ ἔνυλα ὑπάρχει. ἐν τέτοις γὰρ διπλόη τις ἐνορᾶται, τῇ μὲν συνεχὲς καὶ παθητὸν καὶ δυνάμει διαιρετὸν ἡ ὕλη, τῇ δὲ δραςικόν πως ἐνεργείᾳ ὑπάρχειν, τὸ εἶδος. ἐξ ἀμφοῖν γὰρ τέτων συνίςαται πᾶσα ἔνυλος ἐσία, εἴτ' ἦν σῶμα φυσικὸν, καὶ ταῦτα τῷ λόγῳ, ὡς ἀρχὰς οἶδε.

Ἐπεὶ δὲ αἱ ἀρχαὶ ἵνα ὦσιν ἀρχαὶ, ὅπως ποτε αὖ ὦσιν ἀρχαὶ, ἐκ ἐξ ἀλλήλων εἰσὶν, ἔτ' ἄρα τὰ εἴδη ἐκ τῆς ὕλης, οὔτε ἡ ὕλη προτέρα τῶν εἰδῶν ἐν τοῖς πρώτοις σώμασι, εἴτ' ἦν ςοιχείοις. ἔτε γὰρ εἶδος φυσικὸν ἄνευ ὕλης, ἔτε ὕλη ἄνευ εἴδες· ἐ γὰρ καθ' ἑαυτὴν ὑπάρχειν δύναται, ἀλλ' ἔστι μὲν ἐν τοῖς εἴδεσιν, ἔστι δὲ τὰ εἴδη τὰ φύσει ὄντα ἐν τῇ ὕλῃ, καὶ ἐπ' αὐτῆς, καὶ ὁριςικὰ αὐτῆς, καὶ τῶν φυσικῶν σωμάτων μάλιςα χαρακτηριςικά. ὥςε τὰ πλείω τῶν προσαποδιδομένων αὐτοῖς, καὶ ἐκ ἐκ τῆς ὕλης, ἀλλ' ἐκ τῶν εἰδῶν προσεπιλογίζεσθαι προσήκει, καὶ τέτοις κατ' εἶδος ἀποδιδόναι. αὐτίκα γὰρ ἡ συνοχὴ, εἴτ' ἦν ἡ τοιάδε ἢ τοιάδε σύνδεσις τῶν μερῶν ἐν ἑκάστῳ σώματι, ἡ τοσήδε ἔκτασις, ἡ κεφότης, ἡ βαρύτης, ἡ ἕλξις, ἡ ὦσις, ἡ ἔλασις, ἡ πυκνότης, ἡ μάνωσις, ἐν μέρει κατ' εἶδος ἐςὶ τοῖς σώμασι. πάντα γὰρ ταῦτα ἐν ὑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὕλῃ μὲν, ἀλλ' ἐκ τοῦ εἴδους πηγάζει, καὶ τὸ εἶδος παρακολουθεῖ, καὶ διὰ τοῦ εἴδους μετρεῖται καὶ ὁρίζεται. οὐ γὰρ ἔνθα ἡ ὕλη πλείων, μείζων καὶ ἡ ἔκτασις, τοὐναντίον δὲ ἔνθα ἐλάσσων ἡ ὕλη, μείζων ἡ ἔκτασις. πῦρ γὰρ ἐν ἐλαχίστῃ τῇ ὕλῃ παρουσιάζει, καὶ ἐπὶ πλεῖον ἐκτείνεται. γῆ δὲ ἐν πλείονι τῇ ὕλῃ βραχεῖαν ἔμπης ἔχει τὴν ἔκτασιν. οὕτω καὶ βαρύτης καὶ κουφότης, καὶ πύκνωσις καὶ μάνωσις. ἡ δὲ ἕλξις καὶ ὦσις ἐν ὁμοιότητι καὶ ἑτερότητι τῶν εἰδῶν. ὅθεν καὶ ἡ συμπάθεια καὶ ἀντιπάθεια τῶν σωμάτων.

Πάντα γοῦν τὰ εἴδη ἐάν τις τῇ ἐπινοίᾳ ἀφέληται τῶν φυσικῶν σωμάτων, ὑπολείπεται αὐτὸ τοῦτο τὸ νόθῳ λογισμῷ ὑπονοούμενον ὑποκείμενον τῶν εἰδῶν, καθ' αὑτὸ οὐδέ ποτε ὑφεστὸς, οὐδὲ δυνάμενον ὑφιστάναι, ἀλλ' ἐν ὑπάρξει ἀεὶ ἔν τινι εἴδει συνὸν, καὶ μετὰ τοῦ εἴδους καὶ διὰ τὸ εἶδος τὴν ὕπαρξιν ἔχον. καὶ οὕτω λογισμῷ ἀπογυμνούμενον καθ' αὑτὸ ἀόριστόν τι, καὶ πρὸς ὑποδοχὴν παντὸς φυσικοῦ εἴδους ἀδιαφόρως ἔχειν λέγεται, ὃν δ' οὐδέποτ' ἂν ῥηθείη. οὐ γὰρ ὑπῆρξεν, οὐδ' ὑπάρχειν ἡ ὕλη καθ' ἑαυτὴν δύναται, οὔτε ποσόν. οὐ γὰρ μετρεῖ ἀλλὰ μετρεῖται ὑπὸ τοῦ εἴδους. οὔτε τι ἄλλο τῶν αἰσθήσει ληπτῶν, ἀλλὰ πρὸς ταῦτα πάντα ὑποκεῖσθαι πεφυκὸς, ἀδιαφόρως ἔχειν ὑπονοεῖται.

Ταύτης οὖν οὕτως ὑπονοουμένης, ἴδια ἄν τις προσλογίσαιτο, τὸ ἀδιαφόρως ἔχειν πρὸς πάντα τὰ φυσικὰ εἴδη, τὸ παντοίως ὑποδέχεσθαι ταῦτα, τὸ μηδέ ποτε καθ' ἑαυτὴν ὑπάρχειν, τὸ συνεῖναι ἀεὶ τοῖς εἴδεσι ὑλικῶς καὶ ἐν μέρει, τὸ μηδεμίαν ἐξ ἑαυτῆς

ἔ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΘΕΟΤΟΚΗΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνέργειαν ἔχειν, τὸ ὑπείκειν ἀεὶ ταῖς ἐνεργείαις τῶν εἰδῶν, ὅπως ποτὲ αὐτῶν ἐνεργούντων τοῦ ἐπικρατοῦντος γενομένη, τὸ κατ᾽ εἶδος τῶν σωμάτων μερίζεσθαί πως, τὸ πάντα τὰ τῶν εἰδῶν ἰδιώματα προσποιεῖσθαι ἐν μέρει, τὸ ὡς ἀρχὴν, ἀφ᾽ ἧς ὑπονοεῖσθαι τοῦ φυσικοῦ σώματος, πράγματι αὐτὸ μετὰ τοῦ εἴδους συνιστῶσα. διὸ καὶ ἐρᾶν τοῦ εἴδους λέγεται, ὡς οὐδὲ τούτου μήτε οὖσα, μήτε δυναμένη τι.

Τὰ δὲ φυσικὰ σώματα διακριθέντα κατ᾽ εἶδος ἐν πρώτοις ὑπὸ τοῦ Δημιουργοῦ, καὶ ἀναμιχθέντα τὰς δυνάμεις καὶ ἐνεργείας δρᾶτε πρὸς ἄλληλα, καὶ συνέχει τὰς ἕξεις καὶ ποιότητας, καὶ σώζει τὰς κινήσεις καὶ πάντα ἐνεργεῖ καθ᾽ εἱρμὸν ἐκ πρωτογόνου γενέσεως.

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ διαιρέσεως γενικῆς τῶν σωμάτων, καὶ περὶ τῶν ἰδίων τῶν πρώτων σωμάτων, καὶ ὅτι οἱ λέγοντες ἀρχὴν μεταφυσικὴν τὴν ὕλην, πλημμελοῦσι· καὶ οἱ ἐξάγοντες τὰ εἴδη ἐκ τῆς πρώτης ὕλης, τὴν ὕλην ἀγνοοῦσι.

Διαιρεῖται οὖν τὸ φυσικὸν κατὰ πρώτην τομὴν εἴς τε τὸ ὑπερβεβηκὸς καὶ εἰς τὸ ὑποβεβηκὸς, καὶ ὑπερβεβηκὸς μὲν ὁ αἰθήρ. ὑποβεβηκὸς δὲ πῦρ, ἀὴρ, ὕδωρ, γῆ· καὶ ὁ μὲν αἰθὴρ διαιρεῖται εἴς τε τὸ ἐνεργείᾳ διαφανὲς, καὶ εἰς τὰ φωτεινὰ, καὶ σελασφόρα μέρη. τὰ δὲ ὑποβεβηκότα συνδιαιρεῖται παντοίως, καὶ φύρσει, μίξει, κράσει, συμπλοκῇ, καὶ ἑνώσει στοιχεῖα παντοίων σωμάτων ὑπῆρξε καὶ διηνεκῶς γίνεται. ἐναν-

τιώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006